www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΥ ΟΣΙΟΪΕΡΟΜΑΡΤΥΡΟΣ ΒΕΝΕΔΙΚΤΟΥ ΤΟΥ ΚΩΝΣΤΑΜΟΝΙΤΟΥ, ΤΟΥ ΕΚ ΔΑΦΝΗΣ (ΕΖΕΒΩΝ) ΣΕΡΡΩΝ

(ἑορταζομένου τῇ 12ῃ Ἰουνίου)



Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος
ὑπὸ
Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας,
φιλαγίῳ προνοίᾳ τοῦ Σεβασμιωτάτου Μητροπολίτου
Σερρῶν & Νιγρίτης κ.κ.Θεολόγου.

* Ἅγιον Ὄρος Ἄθως * 2006 * ͵βϚ´ *

www.tezaurliturgic.ro




Τῌ ΙΒ΄ ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΝΙΟΥ ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΝΕΟΥ ΟΣΙΟΪΕΡΟΜΑΡΤΥΡΟΣ ΒΕΝΕΔΙΚΤΟΥ

* * *

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Ἱστῶμεν στίχ. ς΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.*
*Ἦχος.α΄. Τῶν οὐρανίων ταγμάτων.*

Κλῆρος καὶ δόξα ὑπάρχει,
Εὐαγγελίου σταυρός,
ὃν ἄραντες ἐπ’ὤμων,
οἱ φιλόχριστοι πάντες,
ἀσκήσει καὶ ἀγῶσι μαρτυρικοῖς,
τὴν ἀγάπην ἀπέδειξαν,
πρὸς τὸν Δεσπότην ἐκχέαντες ἑκοντί,
τοὺς ἱδρῶτας καὶ τὰ αἵματα.

Δόξα τῆς Δάφνης ὑπάρχεις,
πάτερ Βενέδικτε,
αὐτῆς γὰρ πέλεις γόνος,
καὶ Σεῤῥῶν θεῖον κλέος·
ποθήσας μονοτρόπων βίον εὐθύς,
πρὸς τὸν Ἄθω ἀνέδραμες,
καὶ Πρωτομάρτυρος μάνδραν στάδιον σόν,
σὺν πατρί εὗρες μακάριε.

Μόνον Χριστὸν ἀναπνέων,
πάτερ Βενέδικτε,
καὶ μόνον Τούτου θέλων,

ἐντολὰς τηρεῖν πάσας,
ὑπῆλθες μοναζόντων βίον σκληρόν,
καὶ ποδήρη ἐνδέδυσαι,
Ἱερωσύνης τιμίας δι’ ἧς Αὐτῷ,
ἐλειτούργεις ὥσπερ ἄγγελος.

Ὑπακοῆς θεῖος τύπος,
γέγονας, Ὅσιε,
Χριστοῦ φιλαδελφίας,
προθυμότατος λάτρης,
ἀσκήσεως Πατέρων ἐκμιμητής,
προσευχῆς ἐργαστήριον,
δι’ ὧν, Βενέδικτε, εἵλκυσας ἐπὶ σοί,
τοῦ Δεσπότου τὴν εὐμένειαν.

Ὅτε τὸ σκότος τῆς Ἄγαρ,
ἅπαν τὸ πρόσωπον,
ἔσκεπε τῆς Ἑλλάδος,
σὺ ὡς ἥλιος μέγας,
ἐφάνης τοῦ Κυρίου πίστιν ὀρθήν,
πρὸ ἀπίστων ἐκθέμενος,
διὸ καὶ ξίφει ἐτμήθης τὴν κεφαλήν,
παμμακάριστε Βενέδικτε.
Φωτὸς υἱὸς ὢν Κυρίου,
μάκαρ Βενέδικτε,
φωτὶ ἀπλέτῳ φαίνῃ,
μαρτυρήσας τῷ ξίφει·
διὸ τοὺς σὲ τιμῶντας,
θείου φωτός,
κληρονόμους ἀνάδειξον,
ἐν Παραδείσῳ τὸ πρόσωπον τοῦ Χριστοῦ,
βλέπων νῦν φωτοειδέστατον.

*Δόξα. Ἦχος πλ.β΄.*

Τὴν παιδιόθεν αὐξήσας εὐσέβειαν,
τὸν τῆς ἀσκήσεως δρόμον ἀθλήσει τετέλεκας,

ἐν νεότητι ἀνθούσῃ,
ὁσιομάρτυς ἔνδοξε πάτερ Βενέδικτε.
Ἐν Ὄρει Ἁγίῳ γὰρ εὐαρεστήσας τῷ Δεσπότῃ Χριστῷ,
Ὃν πρὸ τῶν ἀσεβῶν ὡμολόγησας τρανῶς,
διὰ τῆς ξιφοτμήσεως ἀνῆλθες,
εἰς τὸ ὄρος τὸ ἄσειστον τῆς θείας Βασιλείας,
ἔνθα εὐφραινόμενος μὴ διαλίπῃς πρεσβεύειν,
ὑπὲρ ἡμῶν διὰ παντὸς τὸν Κύριον.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.*

*Τὰ μαρτυρικὰ ἀναγνώσματα*

*Προφητείαις Ἠσαΐου τὸ ἀνάγνωσμα*
*(Κεφ. 43, 9-14)*

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε, ὅτι ἐγὼ εἰμί. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ’ ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμὶ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ’ ἀρχῆς ἐγὼ εἰμί, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τὶς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα*
*(Κεφ. 3, 1-9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ’ ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα

εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα*
*(Κεφ. 5, 15-23 & 6, 1-3)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα. Ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε, μάθετε, δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

*Ψάλλομεν στιχηρὰ ἰδιόμελα*
*Ἦχος α΄*

Ἐκ βρέφους τραφεὶς τῷ γάλακτι τῆς Ὀρθοδοξίας,

τὸν βίον συνήρμοσας τῇ πίστει τῇ ὀρθοπραξίᾳ·
ὅθεν ὡς ἔλαφος ἔδραμες εἰς τὸν ὑψικάρηνον Ἄθω,
τῶν μονοτρόπων ὑπενδυθεὶς τὸ ἀσκητικὸν τριβώνιον.
Ὡς τέλειος δὲ ἀναφανεὶς ἐν πᾶσιν,
ἐνώπιον τυράννων καθωμολόγησας τὸν Χριστόν,
τῷ αἵματί σου καταχρώσας τὴν χλαῖναν τῆς Ἱερωσύνης.
Διὸ εἴληφας τὸν στέφανον τοῦ μαρτυρίου,
θεομακάριστε Βενέδικτε,
καὶ πρεσβεύεις τῷ Κυρίῳ ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος β´*

Πατρίδα κατέλιπες τὴν φίλην,
διὰ τὸν πόθον τῆς οὐρανίου Πατρίδος,
ὁσιομάρτυς ἔνδοξε Βενέδικτε,
μᾶλλον τῆς Δάφνης προτιμήσας τὸν δάφνινον στέφανον,
ὅν σοι ἐχαρίσατο ἀθλήσαντα ὁ στεφοδότης Χριστός,
ὁ χαρισάμενός σε καὶ ἡμῖν πρέσβυν θερμότατον.

*Ἦχος γ´*

Ἐν πᾶσι τοῦ μονοτρόπου βίου τοῖς ἐπιτηδεύμασιν
φιλοτίμως ἀριστεύσας,
καὶ τῆς οὐρανίου Βασιλείας ἐγένου ἄριστος ἔμπορος,
διὰ τῆς θεοσόφου ἀπελέγξεως τῆς πλάνης,
καὶ τῆς ἀνακηρύξεως τῆς θεότητος τοῦ Χριστοῦ.
Ὅθεν ἄριστος ἀθλητὴς ἀνεδείχθης ξιφοτμηθείς,
θεομακάριστε Βενέδικτε.
Διὸ μὴ παύσῃ δεόμεθα πρεσβεύειν,
ὑπὲρ ἡμῶν τὸν Φιλάνθρωπον.

*Ἦχος δ´*

Τοῦ μαρτυρίου τῆς συνειδήσεως τελέσας τὸν ἀγῶνα,
τοῦ μαρτυρίου τοῦ αἵματος γέγονας συμμέτοχος,
ὁσιομάρτυς πανένδοξε Βενέδικτε,
τέκνον ἄξιον δειχθεὶς τοῦ Πρωτομάρτυρος Στεφάνου.

Διὸ καὶ ταῖς ψυχαῖς ἡμῶν ἔμβαλε ἀειφλεγῆ,
τὸν πόθον τῆς ἐν Χριστῷ θεώσεως.

*Δόξα. Ἦχος πλ.α΄*

Τῆς ἐπιγείου σου καὶ τῆς κατὰ πνεῦμα Πατρίδος,
καύχημα ἐν Κυρίῳ μέγιστον ἀνεδείχθης,
ὁσιομάρτυς νέε Βενέδικτε,
πᾶσι διδάσκων τὴν ἄληκτον πρὸς Κύριον ἀγάπην.
Ὅθεν πρεσβεύων ἀδιαλείπτως τῇ Παναγίᾳ Τριάδι,
ἐνίσχυε μυστικῶς ἡμᾶς,
εἰς τὴν ἐπίτευξιν τῆς δι’ ἣν ἐκλήθημεν ἁγιότητος.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

*Ψάλλομεν στιχηρὰ προσόμοια.*
*Ἦχος πλ.α.΄ Χαίροις ἀσκητικῶν.*

Χαίροις, κλεινὲ βλαστὲ γῆς Σεῤῥῶν,
Κωνσταμονίτου ἐν Χριστῷ ἀγαλλίαμα,
τῶν Νέων Μαρτύρων δόξα,
Ἁγίου Ὄρους χαρά,
καὶ τῶν χριστωνύμων,
πρέσβυς ἔνθερμος·
πατρῴαν εὐσέβειαν,
ἐπαυξήσας, Βενέδικτε,
σταυροῦ τῇ ἄρσει,
καὶ αἱμάτων ἐκβλύσεσι,
ἀναδέδειξαι,
τῶν Ἁγίων συνόμιλος.
Πρέσβευε οὖν δεόμεθα,
ὑπὲρ τῶν τιμώντων σου,
καὶ γεραιρόντων ἐνθέως,
τὴν πανσεβάσμιον ἄθλησιν·
ἰσχύει γὰρ ὄντως,

τοῦ δικαίου πρὸς τὸν Πλάστην,
πολὺ ἡ δέησις.

*Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι.*

Χαίροις, ἀγάπης θείας Χριστοῦ,
θύμα ἑκούσιον, τρισμάκαρ Βενέδικτε·
ἐκ ταύτης βληθεὶς τῷ βέλει,
ὡς τετρωμένη δορκάς,
πρὸς τὸ Ὄρος Ἄθω ἀνελήλυθας,
ἐν ᾧ σχῆμα εἴληφας,
μοναζόντων τὸ ἅγιον,
ποθῶν τὸν βίον,
τῆς ἀσκήσεως, ὅσιε,
καὶ μαρτύριον,
συνειδήσεως ἄπαυστον.
Ἔνθεν καιροῦ δοθέντος σοι,
συμμέτοχος γέγονας,
τῶν ἀπ' αἰῶνος Μαρτύρων,
Υἱὸν Θεοῦ εὐφωνότατα,
κηρύξας καὶ στέφος,
ἐκ χειρῶν τοῦ Ἀθλοθέτου,
ἔσχες τὸ ἄφθαρτον.

*Στίχ.Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ
κατεύθυνε τὰ διαβήματά μου.*

Ὕλην καθυποτάξας σοφῶς,
διὰ συντόνου καὶ νομίμου ἀσκήσεως,
ποδήρη Ἱερωσύνης,
περιεβάλου φαιδρόν,
λειτουργῶν Κυρίῳ ὥσπερ ἄγγελος·
καὶ Ὃν πρῴην ἔθυες,
νῦν ὁρᾷς ἐμφανέστατα,
σαὐτὸν προθύμως,
θυσιάσας Βενέδικτε,
δι' ἀθλήσεως,

ὑποστὰς τὸ μαρτύριον.
Ὅθεν διδάσκεις ἅπαντας,
ἑκούσιον σταύρωσιν,
παθῶν ψυχὴν σκοτιζόντων,
διὰ τὸν λέγοντα Κύριον·
Ὅς θέλει ὀπίσω,
ἕπεσθαί μοι σταυροφόρως,
δόξῃ στεφθήσεται.

*Δόξα. Ἦχος β΄.*

Τὴν τῶν τελείων ἀτέλεστον τελειότητα ποθήσας,
ἀπὸ νεότητος ἐβάδισας τὸν δρόμον τοῦ σταυροῦ,
παμμάκαρ πάτερ Βενέδικτε·
ὡς ἄνθος δὲ εὐῶδες τοῦ Ἁγιωνύμου Ὄρους,
μετεφυτεύθης διὰ τοῦ μαρτυρίου
εἰς τὸν Παράδεισον μετὰ τῶν Ἁγίων,
ἐν ᾧ ἑστὼς μνημόνευε, καλλιστέφανε,
τοὺς τὴν σεπτήν σου μνήμην καταγεραίροντας.

*Καὶ νῦν, τῆς ἑορτῆς.*

*Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.*

*Ἀπολυτίκιον. Ἦχος α΄ Τῆς ἐρήμου πολίτης.*

Ἐκ τῆς Δάφνης βλαστήσας,
Ὄρος Ἄθω κατέλαβες,
ἔνθα τὸν σταυρόν σου ἐπ’ ὤμων,
ἦρας, πάτερ Βενέδικτε·
τὴν πλάνην δὲ Μωάμεθ ἀνδρικῶς,
ἐλέγξας ἀπετμήθης κεφαλήν·
ὅθεν στέφος ἀφθαρσίας παρὰ Χριστοῦ,
ἐδέξω παμμακάριστε.
Δόξα τῷ σὲ ἐνισχύσαντι,
δόξα τῷ σὲ στεφανώσαντι,

www.tezaurliturgic.ro

δόξα τῷ σὲ διδόντι τοῖς πιστοῖς,
ἱκέτην ἀνεπαίσχυντον.
*ἕτερον. Ἦχος γ´. Θείας πίστεως.*

Δάφνης γέννημα, τερπνὸν ὑπάρχων
Ἄθω κλέϊσμα, δέδειξαι πάτερ,
ἐναθλήσας δι’ ἀγάπην τοῦ Κτίσαντος·
καὶ γὰρ τῆς Ἄγαρ ἐλέγξας μυθεύματα,
μάρτυς ἐφάνης Κυρίου, Βενέδικτε.
Ὃν ἱκέτευε,
τὴν γνῶσιν Αὐτοῦ δωρήσασθαι,
ἡμῖν τοῖς σὲ τιμῶσι καὶ γεραίρουσι.

*καὶ τῆς ἑορτῆς*

*Ἀπόλυσις*

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α΄ στιχολογίαν.Κάθισμα. Ἦχος α΄ Τὸν τάφον σου, Σωτήρ.*

Σκηνώματα Θεοῦ,
ἐκ παιδὸς ἀγαπήσας,
ὡς ἄλλος Σαμουήλ,
ὁλικῶς ἀνετέθης,
Αὐτῷ σὺν γεννήτορι,
ἐν τῷ Ὄρει τοῦ Ἄθωνος,
ὡς δὲ σφάγιον,
τελειωθεὶς διὰ ξίφους,
εὗρες ἄληκτον,
τὴν χαρμονὴν Παραδείσου,
Βενέδικτε τίμιε.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Μετὰ τὴν β΄ στιχ.Κάθισμα. Ἦχος δ΄ Ἐπεφάνης σήμερον.*

Τὸν Χριστὸν ἱκέτευε,
Ὁσιομάρτυς,
δοῦναι ἡμῖν ἄφεσιν,
ἁμαρτημάτων τῶν πολλῶν,
καὶ μετανοίᾳ πορεύεσθαι,
λοιπὸν τοῦ βίου,
παμμάκαρ Βενέδικτε.

www.tezaurliturgic.ro

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ.δ΄ Τὴν Σοφίαν καὶ Λόγον.*

Τῆς ζωῆς τοῦ Κυρίου συμμετασχών,
μυστηρίων ὑπάρξας τελετουργός,
Βενέδικτε ὅσιε,
τῶν μελλόντων ἀπόλαυσιν,
ἐπεπόθεις ἐκθύμως,
διὸ καὶ ἠλόγησας,
βίου ἐπικήρου,
τυράννων ἐνώπιον,
τὸν Χριστὸν κηρύξας,
ὡς Θεοῦ Υἱὸν ὄντα,
τὸ ψεῦδος διήλεγξας,
πλάνης Ἄγαρ σκοτόμορφον,
διὸ ξίφει ἠξίωσαι,
τυχεῖν τῆς αἰωνίου ζωῆς,
ἔνθα βλέπεις πρόσωπον πρὸς πρόσωπον,
τὸ ἐράσμιον κάλλος,
Σωτῆρος, μακάριε.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*
Οἱ Ἀναβαθμοί. *Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου· Ἐκ νεότητός μου.*
Προκείμενον· *Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*
Στίχος· *Πεφυτευμένος ἐν οἴκῳ Κυρίου ἐν αὐλαῖς αὐτοῦ ἐξανθήσει.*
*Εὐαγγέλιον, τὸ τοῦ Ὄρθρου τοῦ ἁγίου Γεωργίου.*
Ὁ Ν΄ ψαλμός, *Ἐλέησόν με ὁ Θεός.*
Δόξα. *Ταῖς τοῦ ἀθλοφόρου.*
Καὶ νῦν. *Ταῖς τῆς Θεοτόκου.*
*Εἶτα, στιχηρὸν ἰδιόμελον. Ἦχος πλ.β.*
*Στίχ. Ἐλέησόν με ὁ Θεός....*

Τὸν θεῖον ζῆλον ἀπὸ παιδός,
ἐν τῇ ψυχῇ σου ἔχων, Βενέδικτε,
ὅλος Χριστῷ ἀφιερωθεὶς διέπρεψας,
ὡς μοναστὴς, λειτουργὸς καὶ ὁσιομάρτυς.
Διό, παῤῥησίαν πολλὴν πλουτήσας,
πρέσβευε ἀεὶ ὑπὲρ ἡμῶν τῶν τιμώντων σε.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου.*

*Ὁ Κανὼν τῆς ἑορτῆς καὶ εἶτα τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς:*
***"Εὐλογημένον τῷ Θεῷ, Βενέδικτον, τιμήσω .Ἀ(θανάσιος)".***
*Ὠδὴ α΄. Ἦχοςδ.΄ Ἀνοίξω τὸ στόμά μου.*

Εὐλόγησον, Ἅγιε,
τοὺς τὴν σὴν μνήμην γεραίροντας,
καὶ πάντας ἀξίωσον,
τῆς Βασιλείας Χριστοῦ,
Ὃν ἠγάπησας, καὶ Ὧ ἀφιερώθης,
ψυχῇ τε καὶ σώματι,
πάτερ Βενέδικτε.

Ὑπὲρ τὰ ὁρώμενα,
βλέπων, παμμάκαρ Βενέδικτε,
τὴν ὕλην ἐπάτησας,
καὶ ἀπολαύσεις σαρκός,
ἐν τῷ Ἄθωνι,
ἔδραμες σὺν πατρί σου,
ποθῶν τῆς ἀσκήσεως,
βίον τὸν ἔνθεον.

Λιμένα ἀκύμαντον,
τοῦ Πρωτομάρτυρος εὗρηκας,
Μονὴν τὴν ἡσύχιον,
ἔνθα τὴν ἄγκυραν,
ἐναπέῤῥιψας,
λαβὼν τὸ θεῖον Σχῆμα,

καὶ ἤσκησας ἄριστα,
πάτερ Βενέδικτε.

*Θεοτοκίον*

Ὁ Κῆπός σου, Ἄχραντε,
τὸ θεῖον Ὄρος τοῦ Ἄθωνος,
ὡραῖον ἐβλάστησε,
ἄνθος καὶ εὔοσμον,
τὸν Βενέδικτον,
ὅστις συνηριθμήθη,
χορῷ τῶν Ἁγίων σου,
ξίφος δεξάμενος.

*ᾨδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.*

Γενναίως ἀπέκρουες τὸ σμῆνος,
Βενέδικτε, φρούδων λογισμῶν,
ὡς βέλος ἔχων πάντοτε
εὐχὴν τὴν ἀδιάλειπτον,
καὶ θώρακα ἀήττητον,
Χριστοῦ τὸν ἔνθεον ἔρωτα.

Ἡμέρα ἠρεύγετο ἡμέρᾳ,
καὶ νὺξ ἀπεκάλυπτε νυκτί,
τὰ θεῖα κατορθώματα,
ἅπερ ἐτέλεις ὅσιε,
ἐν πάσῃ κρυφιότητι,
Χριστὸν στοχεύων, Βενέδικτε.

Μαράνας σαρκός σου τὰς κινήσεις,
ἀσκήσει συντόνῳ ἐπὶ γῆς,
μετὰ σαρκός τις ἄγγελος,
ἐφαίνου, ὦ Βενέδικτε,
διὸ καὶ κατηξίωσαι,
Ἱερωσύνης χαρίσματος.

*Θεοτοκίον*

Ἐν πάσῃ ἀνάγκῃ προστηθί μοι,
ὡς Μήτηρ φιλότεκνος, Ἁγνή,
Χριστὸν καθικετεύουσα,
δοῦναι πταισμάτων ἄφεσιν,
καὶ παρασχεῖν τοῦ Πνεύματος,
τὴν θείαν χάριν καὶ ἄκτιστον.

*Κάθισμα .Ἦχος πλ.α΄ Τὸν συνάναρχον Λόγον.*

Τὸν τριστέφανον πάντες θεῖον Βενέδικτον,
εὐφημήσωμεν ὕμνοις τούτου μιμούμενοι,
τὴν ἀγάπην πρὸς Θεὸν ἥνπερ ἐπέδειξεν,
ὡς μονάζων, ἱερεὺς καὶ τῶν μαρτύρων κοινωνός,
αἰτούμενοι τοῦ πρεσβεύειν,
τῷ φιλανθρώπῳ Δεσπότῃ,
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*ᾨδὴ δ΄ Τὴν ἀνεξιχνίαστον.*

Νοῦν Χριστοῦ ἀνέδειξας οὐρανόν,
κλήσει ἀενάῳ,Βενέδικτε,
ἔνθεν ὡς ἄστρα,
ἀνεφάνησάν σοι ἀρεταί,
δι’ ὧν κατακεκόσμησαι,
καὶ θεοπρεπῶς πεπολίτευσαι.

Ὅλῃ διαθέσει σου τῆς ψυχῆς,
τὸν Χριστὸν ἠγάπησας, ἅγιε,
καὶ τὸν πλησίον,
ὡς εἰκόνα τοῦ Θεοῦ,
διὸ καὶ ἀντηγάπησαι,
ὑπὸ τοῦ Κυρίου, Βενέδικτε.

Νικητὴς ἐφάνης ἀληθινός,
κόσμον ὑποτάξας, Βενέδικτε,
ἅμα δὲ τούτῳ,
τὸν ἀρχέκακον ἐχθρόν,
καὶ σεαυτόν, τὸ τρίπλοκον,
σύνδρομον κακίας ψυχώλεθρον.

*Θεοτοκίον*

Τετρωμένος ἔρωτι τοῦ Χριστοῦ,
ἦλθεν εἰς τὸ Ὄρος Βενέδικτος,
Περίβολόν σου,
Παναμώμητε Ἁγνή,
οὗπερ καὶ ἀναδέδεικται,
δένδρον εὐθαλλὲς καὶ καλλίκαρπον.

*ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Ὡς ἄγγελος ἔζησας,
ἐν βίου καθαρότητι,
ὅθεν ἐτιμήθης ἐπαξίως,
ἱερωσύνης τῇ ἰσαγγέλῳ τιμῇ,
πάντοτε προσάγων τῷ Θεῷ,
ἐν δακρύων χύσεσι,
τὴν Θυσίαν, Βενέδικτε.

Θεοῦ φίλος γέγονας,
μακάριε Βενέδικτε,
πάντας ἀγαπῶν τοὺς ἀδελφούς σου,
καὶ ὑπηρέτεις θυσιαζόμενος,
ταῖς διακονίας τῆς Μονῆς,
ἔχων ὡς ὑπόδειγμα,
τὸν Πρωτόαθλον Στέφανον.

Εὐάρεστος γέγονας,
συμμονασταῖς σου, Ὅσιε,
τύπος μοναχοῦ δειχθείς ἀξίου,

ἔχων ὡς ἔργον
ἐν τῇ καρδίᾳ κρυπτόν,
προσευχὴν γλυκέος Ἰησοῦ,
καὶ ἐν πάσῃ πράξει σου,
τὴν ἁγίαν ταπείνωσιν

*Θεοτοκίον*

Ὡς ἔφηβον δέδεξαι,
Κυρία, τὸν Βενέδικτον,
εἰς τὸν ἁγιώνυμόν σου Κλῆρον,
ἔνθα ἀσκήσει,
τῇ ἱερᾷ ἀνδρωθείς,
τὸν Χριστὸν ἐκήρυξε Θεόν,
καὶ Μαρτύρων τάξεσιν,
ἠριθμήθη ὁ πάντιμος.
*ᾨδὴ Ϛ΄. Τὴν θείαν ταύτην.*

Βεβαίαν ἔχων τὴν πίστιν σου,
Βενέδικτε, ἐχώρεις πρὸς σκάμματα,
τῆς ὁσιότητος,
κατὰ τοὺς πάλαι ἀσκήσαντας,
καὶ τῷ Χριστῷ ἐνθέως,
εὐαρεστήσαντας.

Ἐνίκα πόθος τὴν φύσιν σου,
καὶ ζῆλος τῆς σαρκὸς τὴν ἀσθένειαν,
ὅθεν, Βενέδικτε,
ἐν ταῖς εὐχαῖς ταῖς παννύχοις σου,
σκιρτώσῃ τῇ καρδίᾳ,
ἵστασο ἄγρυπνος.

Νεότητός σου τὴν δύναμιν,
ὑπέζευξας Κυρίου θελήματι,
πάτερ Βενέδικτε,
Ὅστις πλουσίοις χαρίσμασιν,
ἐκόσμησε ψυχήν σου,

www.tezaurliturgic.ro

τὴν θεοφίλητον.

*Θεοτοκίον*

Ἐγὼ τὰ πάντα γενήσομαι,
τοῖς ὅσοι ἐν τῷ Ἄθῳ ἀσκήσουσιν,
μήτηρ, ἰάτραινα,
τροφός, ἀλείπτης, ὑπέρμαχος,
καὶ σωτηρίαν δώσω,
ἔφης, Πανάμωμε,

*Κοντάκιον. Ἦχος δ΄ Ὁ ὑψωθείς.*

Ἀκολουθήσας ὡς ἀρνίον Δεσπότῃ,
ἀπὸ παιδὸς ᾖρας σταυρὸν ἐν τοῖς ὤμοις,
Βενέδικτε μακάριε, τοῦ Ἄθωνος βλαστός·
ὅθεν κατηξίωσαι,
χαρισμάτων ποικίλων,
καὶ κηρύξας Κύριον,
πρὸ τυράννων ἀτρόμως,
τὴν κεφαλὴν ἐτμήθης ἐν χαρᾷ,
Νεομαρτύρων,
γενόμενος σύσκηνος.

*Ὁ Οἶκος*

Σαμουὴλ ὥσπερ ἄλλος σκηνώματα,
ἐκ παιδὸς ἀγαπήσας, Βενέδικτε,
τοῦ Κυρίου Αὐτῷ ἀνατέθεισαι,
ἐν τῷ Ὄρει τοῦ Ἄθω ὡς σφάγιον,
ἔνθα τοῦ Πρωτομάρτυρος διάκονος χρηματίσας,
ἐν πάσῃ ἐπιμελείᾳ τὴν ψυχήν σου ἐκάλλυνας·
ὅθεν καὶ ὁ Ψυχεραστὴς Ἰησοῦς σε ἐτίμησεν,
τὴν θεότητα Αὐτοῦ ὁμολογήσαντα τρανῶς
πρὸ τῶν ἀθέων γόνων τῆς Ἄγαρ,
λαβόντα σε ξιφοτμηθέντα
συγκάθεδρον τοῦ Δείπνου τῆς Βασιλείας,

www.tezaurliturgic.ro

οὗ παρεστὼς ἡμῶν μνήσθητι, φιλάδελφε,
Νεομαρτύρων γενόμενος σύσκηνος.

*Τὸ Συναξάριον*

Τῇ ΙΒ΄ τοῦ μηνὸς Ἰουνίου μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου νέου ἁγιορείτου ὁσιοϊερομάρτυρος Βενεδίκτου τοῦ Κωνσταμονίτου, καταγομένου ἐκ Δάφνης(Ἐζεβῶν) Σεῤῥῶν καὶ ἐν Θεσσαλονίκῃ πολλαχῶς βασανισθέντος καὶ ξίφει μαρτυρήσαντος κατὰ τὸ 1821 ἔτος.

*Στίχοι*
Αἵματι βάψας χλαῖναν ἱερωσύνης,
Βενέδικτε, τρίπλοκον εἴληφας στέφος.
Δυωκεδεκάτῃ Βενέδικτος ξίφει κάραν ἐτμήθη.

*Ὑπόμνημα*

*Οὗτος ὁ ἅγιος τοῦ Χριστοῦ νέος ἱερομάρτυς πατρίδα ἔχων τὴν σεῤῥαϊκὴν κώμην Δάφνην, ἐν νεαρᾷ εἰσέτι ἡλικία μετὰ τοῦ πατρὸς αὐτοῦ ἐκοινοβίασαν εἰς τὴν ἐν Ἁγίῳ Ὄρει Ἱερὰν Μονὴν τοῦ Κωνσταμονίτου, τιμωμένην ἐπ' ὀνόματι τοῦ ἁγίου ἐνδόξου Πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου. Σταλεὶς δὲ ὁ παῖς εἰς Πολύγυρον διὰ τὴν στοιχείωσιν τῶν γραμμάτων ἐπανελθὼν ἐκάρη μοναχὸς καὶ εἶτα προήχθη εἰς τὴν Ἱερωσύνην, παριστάμενος ὥσπερ ἄλλος τις ἀσώματος ἄγγελος τῷ ἁγίῳ Θυσιαστηρίῳ καὶ ἀόκνως διακονῶν πάσαις ταῖς ἐπιτιθεμέναις αὐτῷ μοναστηριακαῖς διακονίαις. Εὑρεθεὶς δὲ διά τινα εἰδικὴν ὑπόθεσιν τῆς Ἱερᾶς αὐτοῦ Μετανοίας εἰς τὸ ἐν Σιθωνίᾳ Μετόχιον, ἐκραγείσης ἐν τῷ μεταξὺ τῆς ἐν Ἁγίῳ Ὄρει, ὑπὸ τὴν ἀρχηγίαν τοῦ Ἐμμανουὴλ Παππᾶ ἐπαναστάσεως, συνελήφθη ὑπὸ τῶν τούρκων καὶ ὁδηγηθεὶς εἰς Θεσσαλονίκην, μετὰ πολλὰς βασάνους καὶ πιέσεις ὅπως ἀρνηθῇ τὴν εἰς Χριστὸν πίστιν καὶ ἐνθέρμως ὁμολογήσας Αὐτὸν ὡς ἀληθῆ Θεὸν καὶ ἄνθρωπον καὶ Κύριον τοῦ παντός, ἀπετμήθη τὴν τιμίαν κεφαλήν κατὰ τὴν 12ην Ἰουνίου 1821. Ἄνωθεν δὲ τοῦ μαρτυρικοῦ λειψάνου αὐτοῦ φῶς οὐράνιον*

www.tezaurliturgic.ro

*ἐφαίνετο ἱστάμενον, μαρτυροῦν οὕτω πως τὴν εἴσοδον τοῦ Ἁγίου εἰς τὴν πάμφωτον καὶ πεποθημένην αὐτῷ Βασιλείαν τῶν οὐρανῶν.*

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ὀνουφρίου τοῦ Αἰγυπτίου.

*Στίχοι*

Καὶ τὴν ἑνὸς χιτῶνος ἐντολήν, πάτερ,
Ὑπερβέβηκας γυμνητεύσας εἰς τέλος.
Δωδεκάτῃ ἀχίτωνα Ὀνούφριον ἐκ βίου ἦραν.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Πέτρου, τοῦ πρώτου ἀθωνίτου ἡσυχαστοῦ καὶ γυμνοῦ ἐρημίτου.

*Στίχοι*

Καί σοι προτείνει δεξιὰν Χριστός, Πέτρε,
Σωθέντι γυμνῷ ἐκ θαλάσσης τοῦ βίου.

Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία μάρτυς Ἀντωνῖνα ἐν θαλάσσῃ βληθεῖσα τελειοῦται.

*Στίχοι*

Θάλαμος ἡ θάλασσα νυμφικὸς γίνῃ,
Ἀντωνῖναν κρύπτουσα νύμφην Κυρίου.

Ὁ ὅσιος Ἰουλιανὸς ὁ ἐν τοῖς Δαγάζου ἐν εἰρήνῃ τελειοῦται.

*Στίχοι*

Ἰουλιανὸς θάπτεται πατὴρ μέγας,
Τάφον τὸν οὐδὸν ἡμερῶν πλήρης φθάσας.

Ὁ ὅσιος Ζήνων ἐν εἰρήνῃ τελειοῦται.

*Στίχοι*

Θεῷ σύνεστιν, ὥσπερ ἤλπιζε Ζήνων,
Τὸ τῆς Γραφῆς γάρ, ἐλπὶς οὐ καταισχύνει.

Ὁ ἅγιος Τριφύλλιος, ὁ μαθητὴς τοῦ ἁγίου Σπυρίδωνος καὶ ἐπίσκοπος Λευκωσίας τῆς Κύπρου γενόμενος, ἐν εἰρήνῃ τελειοῦται.

*Στίχοι*

Ἕστηκε Τριφύλλιος Ὑψίστου πέλας,
Ὁρῶν τὸ τριτόπρωτον Ὑψίστου σέλας.

Τῇ αὐτῇ ἡμέρα μνήμη τοῦ ἁγίου Ἰωάννου τοῦ στρατιώτου.

*Στίχοι*

Ὁ στρατιώτης νῦν χορεύει ἐν πόλῳ,
Ὅπου στρατιαὶ Ἀγγέλων, Ἰωάννης.

Μνήμη τοῦ ὁσίου καὶ θαυματουργοῦ Ἀρσενίου Κονεζίας τοῦ Ρώσσου.

*Στίχοι*

Ἦραν Ἀρσένιον ἄγγελοι ἐκ βίου,
Τὸν ἀγγελικῶς βιώσαντα βίον ὧδε.

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

*Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.*

Δοὺς τὸ αἷμά σου,
εἴληφας Πνεῦμα, Ἅγιε,
κατὰ τὸν λέγοντα,
διὸ τμηθεὶς κεφαλήν,
Μαρτύρων συνόμιλος,
ἄριστος γέγονας,
καὶ εὐφραίνῃ νῦν,
δοξάζων τὸν δοξάσαντα,
σὲ Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἴσους ἔδειξας,
τοὺς πόνους τῆς ἀσκήσεως,
πάτερ Βενέδικτε,
τοῖς παλαιοῖς ἀσκηταῖς,
τὴν φλόγα καρδίας σου,
τηρῶν ἀείζωον,
καὶ τὸν ζῆλόν σου,

ἔχων ἀπαραμείωτον,
ἠξιώθης θείας δόξης.

Κρῖνον εὔοσμον,
Κωνσταμονίτου πέφυκας,
θεῖε Βενέδικτε,
εὐωδιάζων πνοαῖς,
τῆς ἄνωθεν Χάριτος,
ἥτις ἐσκήνωσεν,
τῇ καρδίᾳ σου,
καὶ ἔμεινεν, μακάριε,
ἐπὶ σὲ ἀδιαστάτως.

*Θεοτοκίον*

Τὴν μητρῴαν σου,
ἀγάπην δείκνυς, Δέσποινα,
πρὸς τοὺς μονάζοντας,
καθὼς ὑπέσχου ποτέ,
οἰκοῦντας τὸν Ἄθωνα,
καὶ θείου Σχήματος,
ἐπαγγέλματα,
ἐν οἷς σεπτὸς Βενέδικτος,
Πρωτομάρτυρος τὸ τέκνον.

*ᾨδὴ η΄. Παῖδας εὐαγεῖς.*

Ὅπλοις μυστικοῖς ἐθωρακίσθης,
Βενέδικτε, δι᾽ ὧν τὸν ἐχθρόν,
κατέβαλλες προσβάλλοντα,
ἐν ἀναισχύντοις σχήμασι,
βουλόμενον ἑλκύσαί σε,
δολίοις ψεύδεσιν,
ἀλλ᾽ ἔδειξας,
ἀνίσχυρον τοῦτον,
καὶ ἐστεφανώθης,
ὑπὸ τοῦ Ἀθλοθέτου.

Νοῦν καθηγεμόνα καταστήσας,
ἐν πᾶσι τοῖς μέλεσι σοφῶς,
ταῦτα Θεῷ ὑπέταξας,
καὶ ὅπλα ἐναπέδειξας,
δικαιοσύνης ὅσιε πάτερ Βενέδικτε,
ὡς εἴρηκεν,
ἀπόστολος Παῦλος,
οὗπερ ἐμιμήθης,
τὴν πρὸς Χριστὸν ἀγάπην.

Τέκνον Πρωτομάρτυρος ἐγένου,
ἀσκήσας ἐν τούτου τῇ Μονῇ,
ταῖς χρείαις πάσαις Ἅγιε,
διακονῶν ἑκάστοτε,
ἐν χαρμονῇ καρδίας σου,
ὅθεν ἠξίωσαι,
ὁδὸν τοῦ μαρτυρίου βαδίσαι,
ἧς περ ἀρχηγέτης,
ὁ Στέφανος ὑπάρχει.

*Θεοτοκίον*

Ἵλεων ἀπέργασαι Δεσπότην,
τοῖς ὅσοι προστρέχομεν τῇ σκέπῃ σου,
Μῆτερ Παναμώμητε,
ὅπως λύσιν λάβωμεν,
ἁμαρτιῶν καὶ πράξεων,
δι’ ὧν λυποῦμεν Αὐτόν,
καὶ τύχωμεν,
Ἁγνή, σωτηρίας,
διὰ μετανοίας τῷ ὑπολοίπῳ χρόνῳ.

*ᾨδὴ θ΄. Ἅπας γηγενής.*

Μάρτυς ἐν τρισίν,
ἐδείχθης, Βενέδικτε,

πρῶτον ἀσκήσεως,
λόγου δὲ τὸ δεύτερον,
αἵματος τρίτον,
δι’ ὧν ἀπέδειξας,
τὸν πρὸς Χριστόν σου ἔρωτα,
τὸν ὑπερβάλλοντα,
διὸ ἀξιωθεὶς θείας δόξης,
μέμνησο τιμώντων,
τὴν ἱεράν σου μνήμην.

Ἥλιος λαμπρός,
χριστόφωτος δέδειξαι,
πάτερ Βενέδικτε,
τῇ ὁμολογίᾳ σου,
τὸ σκότος λύσας τοῦ ψευδορήτορος,
τὸν δὲ Χριστὸν ὑπάρχοντα,
Θεὸν καὶ ἄνθρωπον,
κηρύξας κεφαλήν σου ἐτμήθης,
ἣν φωτὶ ἀκτίστῳ,
ἐτίμησε Δεσπότης.

Σέῤῥαι παγγενῶς,
δοξάζουσι σήμερον,
πάτερ Βενέδικτε,
τὴν ἁγίαν μνήμην σου,
καὶ ἐκζητοῦσι θρέπτρα γεννήσεως,
ἡ Δάφνη δὲ ἀγάλλεται,
ἡ σὲ βλαστήσασα,
καὶ αἰτεῖται,
θείαν μεσιτείαν σου,
πρὸς Δεσπότην Χριστὸν τὸν Φιλάνθρωπον.

Ὤφθης ἀληθῶς,
μονάζων φιλόθεος,
ἀγγελικὸς ἱερεύς,
μάρτυς χριστοκάρδιος,
πάτερ Βενέδικτε ὁσιώτατε·

www.tezaurliturgic.ro

διὸ εἰς τὸν Παράδεισον,
οἰκῶν μνημόνευε,
οἰκήτορας,
Σεῤῥῶν καὶ τοῦ Ἄθω,
ὧν τὸ κατὰ ἄμφω ὑπάρχεις συμπολίτης.

*Θεοτοκίον*

Ἄνασσα Ἁγνή,
ἐν Ὄρει σου θρέψασα,
τὸν ἀσκητὴν τοῦ Χριστοῦ,
ὡς ὁσιομάρτυρα,
τοῦτον ἐδέξω εἰς τὸν Παράδεισον,
διὸ καθικετεύομεν,
Χριστῷ προσπέσατε,
ἐκζητοῦντες,
τῶν πταισμάτων ἄφεσιν,
τῶν ὑμνούντων ὑμᾶς
μετὰ πίστεως.

*Ἐξαποστειλάριον*
*Ἦχος Β΄ Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Χριστὸς ἐστὶ τὸ πλήρωμα,
τῶν Αὐτῷ πιστευόντων,
Ὅστις καὶ σέ, Βενέδικτε,
εἵλκυσεν εἰς ἀγάπην,
τὸ Σχῆμα χαρισάμενος,
ἐν τῷ Ὄρει τοῦ Ἄθω,
καὶ ἱερέα ἔδειξεν,
ἐν καιρῷ ἀγγελόνουν,
ἐν τέλει δέ,
στέφει μαρτυρίου κατέστεψέ σε,
καὶ Βασιλείαν ἄφθαρτον,
δέδωκέ σοι ὡς κλῆρον.

*καὶ τῆς ἑορτῆς*

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

*Ψάλλομεν στιχηρὰ προσόμοια.*

*Ἦχος πλ.δ΄. Ὢ τοῦ παραδόξου θαύματος!*

Ὅσιε πάτερ Βενέδικτε,
πόθῳ τῆς θείας ζωῆς,
τὴν πατρίδα κατέλιπες,
τὴν ἠγαπημένην σοι,
καὶ τὸν Ἄθω κατείληφας,
ἔνθα Στεφάνου τοῦ Πρωτομάρτυρος,
Μονὴν ἐφεῦρες,
τόπον ἀσκήσεως,
ἐπιμελούμενος,
βίου τελειότητος νυχθημερόν,
ζῆλον πρστιθέμενος,
τῷ ζήλῳ πάντοτε.

Πάτερ θεόφρον Βενέδικτε,
γνῶσιν λαβὼν κοσμικήν,
τὸ ὀλίγον ὠφέλιμον,
ταύτης ὑπερβέβηκας,
θέλων γνῶναι τὸν Κύριον,
δι’ ἐγκρατείας καὶ καθαρότητος,
εὐχῆς ἀπαύστου,
ἀγρύπνοις στάσεσιν·
ὅθεν ὡς ἄγγελος,
ἐν σαρκὶ ἠξίωσαι ἱερουργεῖν,
τοῦ Θεοῦ μυστήρια,
ἱερωσύνην λαβών.

Ὡς ὁ Σαοὺλ τὸ βασίλειον,
δῶρον παρέργως εὑρών,
καὶ σύ, πάτερ Βενέδικτε,
εὗρες θείαν ἄθλησιν,
κατὰ χάριν οὐράνιον·
διὸ ἐλέγξας Ἄγαρ μυθεύματα,

πρὸ τῶν ἀπίστων,
ξίφει τετύχηκας,
Μαρτύρων τάξεως,
ἔνθα παριστάμενος ὑπὲρ ἡμῶν,
τῷ Κυρίῳ πρέσβευε,
δοῦναι τὴν ἄφεσιν.

Ἔργα φωτὸς ἐργασάμενον,
περιπατοῦντα φωτί,
θεομάκαρ Βενέδικτε,
φῶς καὶ τὸ ξιφότμητον,
λείψανόν σου κατέλαμψεν,
δεικνῦον ὅτι φωτὸς ἠξίωσαι,
τῆς Βασιλείας ἔνθα ὁ Κύριος,
σὲ συνηρίθμησεν,
σὺν Ἁγίοις ἅπασι τοῦ θεωρεῖν,
τὴν Αὐτοῦ τερπνότητα,
τὴν ἀκατάληκτον.

*Δόξα. Ἦχος ὁ αὐτός.*

Τῆς ἐπιγείου πατρίδος, Δάφνης, θεία δόξα,
τῆς καθ' υἱοθεσίαν, Ἄθωνος, κλεινὸν ἀγλάϊσμα,
καὶ τῆς ἐπουρανίου Βασιλείας θεαπόκτητον εὕρημα,
ἀνεδείχθης, ὁσιομάρτυς πάτερ Βενέδικτε.
Ὅθεν, ὡς παῤῥησίαν ἔχων πρὸς Κύριον,
Ὃν ἠγάπησας ἄχρι θανάτου σφαγῆς,
πρέσβευε, δεόμεθα, ἐκτενῶς,
καὶ ἡμᾶς ἀξιωθῆναι,
τῆς χαρμοσύνης τοῦ Παραδείσου.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου*
*Εἰς τὴν Θείαν Λειτουργίαν, Ἀποστολοευάγγελον τὰ τοῦ ἁγίου Γεωργίου.*

www.tezaurliturgic.ro

*Μεγαλυνάρια*

Χαίροις θεῖον ῥόδον τῆς γῆς Σερρῶν,
καὶ τοῦ Ὄρους Ἄθω,
ἐγκαλλώπισμα ἱερόν,
χαίροις τῶν ὁσίων καὶ ἱερέων δόξα,
Βενέδικτε, Μαρτύρων,
νέων συνόμιλε.

Πνεύματι Ἁγίῳ κατελλαμφθείς,
πλάνην γραίας Ἄγαρ,
ἐμυκτήρισας ὡς σοφός,
ὅθεν ἀπετμήθης,
τὴν θείαν κεφαλήν σου,
καὶ στέφος ἀφθαρσίας,
ᾖρας, Βενέδικτε.

Μάνδρας Πρωτομάρτυρος ὢν βλαστός,
καὶ τοῦ Ὄρους Ἄθω,
ἱερώτατος ἀσκητής,
πρέσβευε ἀπαύστως,
Βενέδικτε τρισμάκαρ,
ὑπὲρ αὐτῶν Κυρίῳ,
τῷ σὲ δοξάσαντι.

*Στίχοι*

Εὐλογημένος τὴν κλῆσίν σου σημαίνων,
Εὐλόγει, Βενέδικτε, τοὺς σὲ τιμῶντας.

www.tezaurliturgic.ro



*Συνετέθη, σὺν Θεῷ ἁγίῳ, ἡ παροῦσα Ἀκολουθία, τῇ 16.12.200,6*
*ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας, Ἁγίου Ὄρους Ἄθω.*